γεγονέναι πένησιν), οἱ δὲ τῇ πολιτείᾳ δυσχεραίνοντες διὰ
τὸ μεγάλην γεγονέναι μεταβολήν, ἔνιοι δὲ διὰ τὴν πρὸς
4 ἀλλήλους φιλονικίαν. ἦσαν δ᾽ αἱ στάσεις τρεῖς· μία μὲν
τῶν παραλίων, ὧν προειστήκει Μεγακλῆς ὁ Ἀλκμέωνος,
οἵπερ ἐδόκουν μάλιστα διώκειν τὴν μέσην πολιτείαν· ἄλλη
δὲ τῶν πεδιακῶν, οἳ τὴν ὀλιγαρχίαν ἐζήτουν, ἡγεῖτο δ᾽
αὐτῶν Λυκοῦργος· τρίτη δ᾽ ἡ τῶν διακρίων, ἐφ᾽ ᾗ τε-
ταγμένος ἦν Πεισίστρατος, δημοτικώτατος εἶναι δοκῶν.
5 προσεκεκόσμηντο δὲ τούτοις οἵ τε ἀφῃρημένοι τὰ χρέα διὰ
τὴν ἀπορίαν καὶ οἱ τῷ γένει μὴ καθαροὶ διὰ τὸν φόβον·
σημεῖον δ᾽, ὅτι μετὰ τὴν τῶν τυράννων κατάλυσιν ἐποίησαν
διαψηφισμόν, ὡς πολλῶν κοινωνούντων τῆς πολιτείας οὐ
προσῆκον. εἶχον δὲ ἕκαστοι τὰς ἐπωνυμίας ἀπὸ τῶν
τόπων ἐν οἷς ἐγεώργουν.

14 Δημοτικώτατος δ᾽ εἶναι δοκῶν ὁ Πεισίστρατος καὶ σφόδρ᾽
εὐδοκιμηκὼς ἐν τῷ πρὸς Μεγαρέας πολέμῳ, κατατραυ-
ματίσας ἑαυτὸν συνέπεισε τὸν δῆμον, ὡς ὑπὸ τῶν ἀντι-
στασιωτῶν ταῦτα πεπονθώς, φυλακὴν ἑαυτῷ δοῦναι τοῦ
σώματος, Ἀριστίωνος γράψαντος τὴν γνώμην. λαβὼν δὲ
τοὺς κορυνηφόρους καλουμένους, ἐπαναστὰς μετὰ τούτων
τῷ δήμῳ κατέσχε τὴν ἀκρόπολιν ἔτει δευτέρῳ καὶ τριακοστῷ
2 μετὰ τὴν τῶν νόμων θέσιν ἐπὶ Κωμέου ἄρχοντος. λέγεται
δὲ Σόλωνα, Πεισιστράτου τὴν φυλακὴν αἰτοῦντος, ἀντιλέξαι
καὶ εἰπεῖν ὅτι τῶν μὲν εἴη σοφώτερος, τῶν δ᾽ ἀνδρειότερος·
ὅσοι μὲν γὰρ ἀγνοοῦσι Πεισίστρατον ἐπιτιθέμενον τυραν-
νίδι, σοφώτερος εἶναι τούτων, ὅσοι δ᾽ εἰδότες κατασιωπῶσιν,
ἀνδρειότερος. ἐπεὶ δὲ λέγων [οὐκ ἔ]πειθεν, ἐξαράμενος τὰ
ὅπλα πρὸ τῶν θυρῶν αὐτὸς μὲν ἔφη βεβοηθηκέναι τῇ
πατρίδι καθ᾽ ὅσον ἦν δυνατός (ἤδη γὰρ σφόδρα πρεσβύτης
3 ἦν), ἀξιοῦν δὲ καὶ τοὺς ἄλλους ταὐτὸ τοῦτο ποιεῖν. Σόλων
μὲν οὖν οὐδὲν ἤνυσεν τότε παρακαλῶν· Πεισίστρατος δὲ
λαβὼν τὴν ἀρχὴν διῴκει τὰ κοινὰ πολιτικῶς μᾶλλον ἢ